26 [26]Καὶ τῇ ἡμέρᾳ τῶν νέων, ὅταν προσφέρητε θυσίαν νέαν κυ-
ρίῳ τῶν ἑβδομάδων, ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευ-
27 τὸν οὐ ποιήσετε. [27]καὶ προσάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐω-
δίας κυρίῳ μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα, ἑπτὰ ἀμνοὺς ἐνιαυ-
28 σίους ἀμώμους· [28]ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν
ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ
29 30 ἑνί, [29]δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ τοῖς ἑπτὰ ἀμνοῖς· [30]καὶ
31 χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν· [31]πλὴν
τοῦ ὁλοκαυτώματος τοῦ διὰ παντός· καὶ τὴν θυσίαν αὐτῶν ποιή-
σετέ μοι — ἄμωμοι ἔσονται ὑμῖν — καὶ τὰς σπονδὰς αὐτῶν.
29 [1]Καὶ τῷ μηνὶ τῷ ἑβδόμῳ μιᾷ τοῦ μηνὸς ἐπίκλητος ἁγία ἔσται
ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· ἡμέρα σημασίας ἔσται
2 ὑμῖν. [2]καὶ ποιήσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ μό-
σχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους·
3 [3]ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα
4 τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί, [4]δέκατον δέ-
5 κατον τῷ ἀμνῷ τῷ ἑνὶ τοῖς ἑπτὰ ἀμνοῖς· [5]καὶ χίμαρον ἐξ αἰγῶν
6 ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν· [6]πλὴν τῶν ὁλοκαυτω-
μάτων τῆς νουμηνίας, καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν
καὶ τὸ ὁλοκαύτωμα τὸ διὰ παντὸς καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ
σπονδαὶ αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν εἰς ὀσμὴν εὐωδίας κυρίῳ.
7 [7]Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τούτου ἐπίκλητος ἁγία ἔσται ὑμῖν,
8 καὶ κακώσετε τὰς ψυχὰς ὑμῶν καὶ πᾶν ἔργον οὐ ποιήσετε. [8]καὶ
προσοίσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας καρπώματα κυρίῳ
μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτά, ἄμωμοι
9 ἔσονται ὑμῖν· [9]ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ,
τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,
10 11 [10]δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ εἰς τοὺς ἑπτὰ ἀμνούς· [11]καὶ
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν· πλὴν
τὸ περὶ τῆς ἁμαρτίας τῆς ἐξιλάσεως καὶ ἡ ὁλοκαύτωσις ἡ διὰ
παντός, ἡ θυσία αὐτῆς καὶ ἡ σπονδὴ αὐτῆς κατὰ τὴν σύγκρισιν
εἰς ὀσμὴν εὐωδίας κάρπωμα κυρίῳ.
12 [12]Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου
ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε καὶ
13 ἑορτάσετε αὐτὴν ἑορτὴν κυρίῳ ἑπτὰ ἡμέρας. [13]καὶ προσάξετε ὁλο-
καυτώματα καρπώματα εἰς ὀσμὴν εὐωδίας κυρίῳ, τῇ ἡμέρᾳ τῇ

27 επτα / αμν. ενιαυσ.] tr. A || 31 του δια παντος] της νουμηνιας και η θυσια αυτων και το ολοκαυτωμα το δια παντος A | τας σπονδας] αι -δαι A
29 6 το ολοκ. το] τα ολοκαυτωματα B*† | και $4^0$ > A | κυριου B*†: item in 12. 13 || 7 εργον] + λατρευτον A || 8 ολοκαυτωμα A | καρπωμα A | κυριω > A | ενα / εκ βοων] tr. A | αμωμους (sic) A || 12 εορτασατε B || 13 καρπωματα] -μα A, > $B^c$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/320 UNIVERSITÄT LEIPZIG